Cours de littérature grecque
Semestre d’automne 2024
**Histoire générale de la littérature grecque**
Lectures en marge du cours de littérature n° 6

**Sophocle, *Œdipe Roi* 1045-1072**
Œdipe enquête sur son identité ; Jocaste tente de l’en dissuader.

**Οι.** ἦ κἄστ’ ἔτι ζῶν οὗτος, ὥστ’ ἰδεῖν ἐμέ;
**Αγ.** ὑμεῖς γ’ ἄριστ’ εἰδεῖτ’ ἂν οὑπιχώριοι.
Οι. ἔστιν τις ὑμῶν τῶν παρεστώτων πέλας,
ὅστις κάτοιδε τὸν βοτῆρ’, ὃν ἐννέπει,
εἴτ’ οὖν ἐπ’ ἀγρῶν εἴτε κἀνθάδ’ εἰσιδών;
σημήναθ’, ὡς ὁ καιρὸς ηὑρῆσθαι τάδε.
**Χο.** οἶμαι μὲν οὐδέν’ ἄλλον ἢ τὸν ἐξ ἀγρῶν,
ὃν κἀμάτευες πρόσθεν εἰσιδεῖν· ἀτὰρ
ἥδ’ ἂν τάδ’ οὐχ ἥκιστ’ ἂν Ἰοκάστη λέγοι.
**Οι.** γύναι, νοεῖς ἐκεῖνον, ὅντιν’ ἀρτίως
μολεῖν ἐφιέμεσθα; τόνδ’ οὗτος λέγει;
**Ιο.** τί δ’ ὅντιν’ εἶπε; μηδὲν ἐντραπῇς. μάτην
ῥηθέντα βούλου μηδὲ μεμνῆσθαι τάδε.
**Οι.** οὐκ ἂν γένοιτο τοῦθ’, ὅπως ἐγὼ λαβὼν
σημεῖα τοιαῦτ’ οὐ φανῶ τοὐμὸν γένος.
**Ιο.** μὴ πρὸς θεῶν, εἴπερ τι τοῦ σαυτοῦ βίου
κήδῃ, ματεύσῃς τοῦθ’· ἅλις νοσοῦσ’ ἐγώ.
**Οι.** θάρσει· σὺ μὲν γὰρ οὐδ’ ἐὰν τρίτης ἐγὼ
μητρὸς φανῶ τρίδουλος, ἐκφανῇ κακή.
**Ιο.** ὅμως πιθοῦ μοι, λίσσομαι· μὴ δρᾶ τάδε.
**Οι.** οὐκ ἂν πιθοίμην μὴ οὐ τάδ’ ἐκμαθεῖν σαφῶς.
**Ιο.** καὶ μὴν φρονοῦσά γ’ εὖ τὰ λῷστά σοι λέγω.
**Οι.** τὰ λῷστα τοίνυν ταῦτά μ’ ἀλγύνει πάλαι.
**Ιο.** ὦ δύσποτμ’, εἴθε μήποτε γνοίης ὃς εἶ.
**Οι.** ἄξει τις ἐλθὼν δεῦρο τὸν βοτῆρά μοι;
ταύτην δ’ ἐᾶτε πλουσίῳ χαίρειν γένει.
**Ιο.** ἰοὺ ἰού, δύστηνε· τοῦτο γάρ σ’ ἔχω
μόνον προσειπεῖν, ἄλλο δ’ οὔποθ’ ὕστερον.